5 τόν τ' ἀκαμαντορόαν
Ἀλφεόν, Πέλοπός τε βίαν,
7 καὶ Πίcαν, ἔνθ' ὁ κ'λεεννὸc
ποccὶ νικάcαc δρόμωι
9 ἦλθ]εν Φερένικοc ⟨ἐc⟩ εὐπύργουc Cυρακόc-
cαc Ἱέρωνι φέρων
11 εὐδ]ạιμονίαc πέταλον.
χρὴ] δ' ἀλαθείαc χάριν
col 16 (12) 13 αἰνεῖν, φθόνον ἀμφ[οτέραιcιν
χερcὶν ἀπωcάμενον̄,
εἴ τιc εὖ πράccοι βροτῶν.
1 Βοιωτὸc ἀνὴρ τᾶδε φών[ηcεν, γλυκειᾶν
Ἡcίοδοc πρόπολοc
3 Μουcᾶν, ὃν ⟨ἂν⟩ ἀθάνατοι τι[μῶcι, τούτωι
καὶ βροτῶν φήμαν ἕπ[εcθαι.
5 πείθομαι εὐμαρέωc
εὐκλέα κελεύθου γλῶccαν οὐ̣[‒ ‒ ◡ ‒
7 πέμπειν Ἱέρωνι· τόθεν γὰρ